ΜΗ. *χώρει· πόθῳ γὰρ τῆς νεοδμήτου κόρης*
*αἱρεῖ χρονίζων δωμάτων ἐξώπιος.*
*νύμφευ᾽· ἴσως γάρ· σὺν θεῷ δ᾽ εἰρήσεται·*
*γαμεῖς τοιοῦτον ὥστε σ᾽ ἀρνεῖσθαι γάμον.*

ΧΟ. *ἔρωτες ὑπὲρ μὲν ἄγαν* str.
*ἐλθόντες οὐκ εὐδοξίαν*
*οὐδ᾽ ἀρετὰν παρέδωκαν*
*ἀνδράσιν· εἰ δ᾽ ἅλις ἔλθοι*
*Κύπρις, οὐκ ἄλλα θεὸς εὔχαρις οὕτως.*
*μήποτ᾽, ὦ δέσποιν᾽, ἐπ᾽ ἐμοὶ*
*χρυσέων τόξων ἐφείης*
*ἱμέρῳ χρίσασ᾽ ἄφυκτον οἰστόν.*
*στέργοι δέ με σωφροσύνα,* antistr.
*δώρημα κάλλιστον θεῶν·*
*μηδέ ποτ᾽ ἀμφιλόγους ὀρ-*
*γὰς ἀκόρεστά τε νείκη*
*θυμὸν ἐκπλήξασ᾽ ἑτέροις ἐπὶ λέκτροις*
*προσβάλοι δεινὰ Κύπρις, ἀ-*
*πτολέμους δ᾽ εὐνὰς σεβίζουσ᾽*
*ὀξύφρων κρίνοι λέχη γυναικῶν.*
*ὦ πατρίς, ὦ δώματα, μὴ* str.
*δῆτ᾽ ἄπολις γενοίμαν*
*τὸν ἀμηχανίας ἔχουσα*
*δυσπέρατον αἰῶν᾽,*
*οἰκτρότατον ἀχέων.*
*θανάτῳ θανάτῳ πάρος δαμείην*
*ἁμέραν τάνδ᾽ ἐξανύσασα· μό-*
*χθων δ᾽ οὐκ ἄλλος ὕπερθεν ἢ*
*γᾶς πατρίας στέρεσθαι.*
*εἴδομεν, οὐκ ἐξ ἑτέρων* antistr.
*μῦθον ἔχω φράσασθαι·*
*σὲ γὰρ οὐ πόλις, οὐ φίλων τις*

---

640. *προσβάλοιμι B προσβάλοιμ᾽ ὦ C* 643. *δώματα*] Nauckius, *δῶμα* libri. 647. *οἰκτρότατον*] Musgravius, *οἰκτροτάτων* libri. 651. *πατρῴας* B 654. *μῦθον*] Nauckius, *μύθων* libri. 655. *σὲ γὰρ οὐ φίλων τις οὐ πόλις BC*